*θῦσαι πρὸ γαίας. εἰ γὰρ αἱρεθήσεται*
*πόλις, τί παίδων τῶν ἐμῶν μέτεστί μοι;*
*οὐκοῦν ἅπαντα τοὔν γ' ἐμοὶ σωθήσεται,*
*ἄρξουσιν ἄλλοι, τήνδ' ἐγὼ σώσω πόλιν.*
*ἐκεῖνο δ' οὗ ⟨τὸ⟩ πλεῖστον ἐν κοινῷ μέρος*
*οὐκ ἔσθ' ἑκούσης τῆς ἐμῆς ψυχῆς ἄτερ,*
*προγόνων παλαιὰ θέσμι' ⟨ὅσ⟩τις ἐκβαλεῖ·*
*οὐδ' ἀντ' ἐλάας χρυσέας τε Γοργόνος*
*τρίαιναν ὀρθὴν στᾶσαν ἐν πόλεως βάθροις*
*Εὔμολπος οὐδὲ Θρῇξ ἀναστέψει λεὼς*
*στεφάνοισι, Παλλὰς δ' οὐδαμοῦ τιμήσεται.*
*χρῆσθ', ὦ πολῖται, τοῖς ἐμοῖς λοχεύμασιν,*
*σῴζεσθε, {καὶ} νικᾶτ'· ἀντὶ γὰρ ψυχῆς μιᾶς*
*οὐκ ἔσθ' ὅπως ὑμῖν {τήνδ'} ἐγὼ οὐ σώσω πόλιν.*
*ὦ πατρίς, εἴθε πάντες οἳ ναίουσί σε*
*οὕτω φιλοῖεν ὡς ἐγώ· καὶ ῥᾳδίως*
*οἰκοῖμεν ἄν σε, κοὐδὲν ἂν πάσχοις κακόν.*

**25**
**101** *Ταῦτα ὦ ἄνδρες τοὺς πατέρας ὑμῶν ἐπαίδευε. φύσει γὰρ οὐσῶν φιλοτέκνων πασῶν τῶν γυναικῶν, ταύτην ἐποίησε τὴν πατρίδα μᾶλλον τῶν παίδων φιλοῦσαν, ἐνδεικνύμενος ὅτι εἴπερ αἱ γυναῖκες τοῦτο τολμήσουσι ποιεῖν, τούς γ' ἄνδρας ἀνυπέρβλητόν τινα δεῖ τὴν εὔνοιαν ὑπὲρ*